UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

# Epistolai tu hagiu Isidōru tu Pēlusiōtu

**Isidorus <Pelusiota>**

**Parisiis, 1585**

Aphrasio Presbytero. 161.

urn:nbn:de:hbz:466:1-71898

Visual Library

Νείλῳ ρξ.

Πολλάκις ἐθαύμασα, τῶν τὴν τοῦ θεοῦ μακροθυμίαν, ἐφόδιον ποιουμένων κακίας. δέον γὰρ τοσαύτης χρηστότητος πολιτευομένης, τὴν κακίαν μὴ αὔξεσθαι, ἀλλ' ἐλέου καὶ συγγνώμης τυχόντας, τὴν εὐεργεσίαν αἰδουμένους, κακίας μὲν ἀπέχεσθαι· ἀρετῆς δ' ἀντέχεσθαι. οἱ δὲ τολμῶσιν ἀτόλμητα· ἴστωσαν οὖν ὡς οὐ διαφεύξονται τὴν δίκην. τὸ γὰρ θεῖον λόγιον βοᾷ, Αὐτὸς γὰρ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

*Nilo.* 160.

Sæpenumero eos miratus ſum, qui Dei lenitatem in vitij occaſionem vertunt. Nã pro eo atque oportebat eos, tãta benignitate vigente, vitium minimè adaugere, verùm, poſteaquàm miſericordiam & veniã conſecuti eſſent, huiuſmodi beneficio commoueri, atque à vitio quidem abſtinere, virtutem autem amplexari, ipſi contrà nefaria quoque ſcelera perpetrare minimè dubitãt. Sciant igitur illi, ſe pœnam haudquaquam vitaturos. Clamat enim diuinum oraculum, Ipſe reddet vnicuique iuxta opera ſua.

Ἀφρασίῳ πρεσβυτέρῳ. ρξα.

Εἰ καὶ οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα· ἀλλ' οὖν γε ἀπὸ τῶν παλαιόντων πρὸς αἷμα καὶ σάρκα, διδακτέον τοὺς νόμους τοὺς ἀθλητικούς. ὥσπερ οὖν ἐκεῖνοι οὐ μόνον ἀποδυσάμενοι· ἀρχὴ γὰρ τοῦ ἀγωνίσασθαι τὸ ἀποδύσασθαι· ἀλλὰ καὶ ἀποκειράμενοι τὴν κόμην, καὶ ἀλειψάμενοι ἐλαίῳ, ἵνα μήτε ληφθείεν ταῖς θριξὶν, ἀλλὰ καὶ ὀλισθῆσαι παρασκευάσωσι διὰ τοῦ ἐλαίου τοῦ ἀντιπάλου τὰς χεῖρας. οὕτως ἐπὶ τὸν ἀγῶνα χωροῦσιν· οὕτως καὶ ἡμεῖς, εἴγε στεφανῖται γενέσθαι ποθοῦμεν, ἀποδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ τὸ ἔξωθεν ἀποκειράμενοι, καὶ εἰς ἐλεημοσύνας καταναλώσαντες, γυμνοὶ πάσης φροντίδος, καὶ ἀχίτωνες εἰς τὸ στάδιον τῆς ἀρετῆς ἀναβῶμεν, τὰ περὶ ψυχῆς ὀλύμπια ἀγωνισάμενοι. εἰ δὲ μηδὲν τούτων δρῶντες, νομίζοιμεν καὶ ἀγωνίζεσθαι, καὶ ἐναβρυνόμεθα ἐπὶ τούτῳ, πρῶτον μὲν κἀνταῦθα παρὰ τῶν ἐχεφρόνων γελασθησόμεθα· ἔπειτα δὲ κἀκεῖσε ἀκριβῶς εἰσόμεθα, ὅτι ἑαυτοὺς παρελογισάμεθα, ὅταν μὴ μόνον ἀστεφάνωτοι, ἀλλὰ καὶ δίκας ὑφέξοντες ἀπαγώμεθα.

*Aphraſio Presbytero.* 161.

Etſi nobis aduerſus carnem & ſanguinem colluctatio non eſt, at ab his tamen qui aduerſus carnem & ſanguinem luctãtur, palæſtræ leges edocendæ ſunt. Quẽadmodum igitur illi non modò exutis veſtibus (certandi enim principium eſt veſtes deponere) verùm etiam detonſa coma, corporéque oleo delibuto (vt nec crinibus prehendentur, ac per oleum lubricas aduerſarij manus reddant) ita demum in certamen progrediuntur: ad eundem nos quoque modum, ſi coronam referre cupimus exuto veteri homine vnà cum ipſius actionibus, præciſiſque atque in eleemoſynas inſumptis rebus externis, omni cura nudi, ac veſtitu carentes, ad virtutis ſtadium aſcendamus, vt Olympicum de anima certamen obeamus. Quòd ſi nihil horum facientes, certare nobis videamur, atque hoc nomine gloriemur, primùm quidem hîc quoque a prudentibus viris ridebimur: poſteà autem illic etiam certò comperiemus, nos à nobiſipſis deluſos ac circunſcriptos fuiſſe: cùm videlicet, non modò coronæ expertes erimus, verùm etiã ad luendas pœnas abducemur